# ΓΕΝΙΚΟ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟ ΓΥΜΝΑΣΙΟ - ΛΥΚΕΙΟ ΝΕΑΠΟΛΗΣ
## ΠΟΛΙΤΙΣΤΙΚΗ ΕΚΠΑΙΔΕΥΣΗ –
## Γ΄ ΛΥΚΕΙΟΥ
## «ΤΑ ΟΝΟΜΑΤΑ ΤΗΣ ΠΑΝΑΓΙΑΣ»
## ΣΧΟΛΙΚΟ ΕΤΟΣ 2012 – 2013



ΛΥΔΔΑΣ



ΚΥΚΚΩΤΙΣΑ



ΕΙΚΟΣΙΦΟΙΝΙΣΣΑ



ΟΡΘΟΚΡΑΤΟΥΣΑ-ΣΠΗΛΙΩΤΙΣΣΑ

Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴνΘεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφεὶμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν καὶ καθαρωτέραν λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας, τὴν Δέσποιναν τοῦ κόσμου, ὕμνοις τιμήσωμεν.

Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, Ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος, ἡγιασμένε ναέ, καὶ Παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεός ἐσαρκώθη, καὶ παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν· τὴν γὰρ σὴν μήτραν, θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα, πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, δόξα σοι.



ΙΕΡΟΣΟΛΥΜΙΤΙΣΣΑ



ΑΞΙΟΝ ΕΣΤΙ-ΠΡΩΤΑΤΟΝ



ΜΕ ΤΑ ΕΠΤΑ ΣΠΑΘΙΑ



ΠΟΡΤΑΙΤΙΣΣΑ – Ι.Μ. ΙΒΗΡΩΝ



ΤΡΙΧΕΡΟΥΣΑ – Ι.Μ. ΧΙΛΑΝΔΑΡΙΟΥ



ΠΡΟΥΣΙΩΤΙΣΣΑ

ΕΚΠΑΙΔΕΥΤΙΚΟΙ : ΤΣΕΚΟΥΝΑΡΗΣ ΜΙΧΑΗΛ - ΡΕΝΤΑΚΗΣ ΝΙΚΟΛΑΟΣ, ©ΓΕΝΙΚΟ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟ ΓΥΜΝΑΣΙΟ ΚΑΙ ΛΥΚΕΙΟ ΝΕΑΠΟΛΗΣ